ΣΠΟΥΔΗ
ΦΡΟΝΤΙΣΤΗΡΙΑΚΟΣ ΟΡΓΑΝΙΣΜΟΣ

e-spoudi

**ΔΙΑΓΩΝΙΣΜΑ ΠΡΟΣΟΜΟΙΩΣΗΣ ΑΡΧΑΙΩΝ ΕΛΛΗΝΙΚΩΝ Γ΄ΛΥΚΕΙΟΥ 21-10-2023**

**ΔΙΔΑΓΜΕΝΟ ΚΕΙΜΕΝΟ**

**ΑΡΙΣΤΟΤΕΛΗΣ, Ἠθικὰ Νικομάχεια, Β 1.5-8, 1103b2-25**

Μαρτυρεῖ δὲ καὶ τὸ γινόμενον ἐν ταῖς πόλεσιν· οἱ γὰρ νομοθέται τοὺς πολίτας ἐθίζοντες ποιοῦσιν ἀγαθούς, καὶ τὸ μὲν βούλημα παντὸς νομοθέτου τοῦτ᾽ ἐστίν, ὅσοι δὲ μὴ εὖ αὐτὸ ποιοῦσιν ἁμαρτάνουσιν, καὶ διαφέρει τούτῳ πολιτεία πολιτείας ἀγαθὴ φαύλης. Ἔτι ἐκ τῶν αὐτῶν καὶ διὰ τῶν αὐτῶν καὶ γίνεται πᾶσα ἀρετὴ καὶ φθείρεται, ὁμοίως δὲ καὶ τέχνη· ἐκ γὰρ τοῦ κιθαρίζειν καὶ οἱ ἀγαθοὶ καὶ κακοὶ γίνονται κιθαρισταί. Ἀνάλογον δὲ καὶ οἰκοδόμοι καὶ οἱ λοιποὶ πάντες· ἐκ μὲν γὰρ τοῦ εὖ οἰκοδομεῖν ἀγαθοὶ οἰκοδόμοι ἔσονται, ἐκ δὲ τοῦ κακῶς κακοί. Εἰ γὰρ μὴ οὕτως εἶχεν, οὐδὲν ἂν ἔδει τοῦ διδάξοντος, ἀλλὰ πάντες ἂν ἐγίνοντο ἀγαθοὶ ἢ κακοί.

Οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει· πράττοντες γὰρ τὰ ἐν τοῖς συναλλάγμασι τοῖς πρὸς τοὺς ἀνθρώπους γινόμεθα οἱ μὲν δίκαιοι οἱ δὲ ἄδικοι, πράττοντες δὲ τὰ ἐν τοῖς δεινοῖς καὶ ἐθιζόμενοι φοβεῖσθαι ἢ θαρρεῖν οἱ μὲν ἀνδρεῖοι οἱ δὲ δειλοί. Ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ἐπιθυμίας ἔχει καὶ τὰ περὶ τὰς ὀργάς· οἱ μὲν γὰρ σώφρονες καὶ πρᾶοι γίνονται, οἱ δ᾽ ἀκόλαστοι καὶ ὀργίλοι, οἱ μὲν ἐκ τοῦ οὑτωσὶ ἐν αὐτοῖς ἀναστρέφεσθαι, οἱ δὲ ἐκ τοῦ οὑτωσί. Καὶ ἑνὶ δὴ λόγῳ ἐκ τῶν ὁμοίων ἐνεργειῶν αἱ ἕξεις γίνονται. Διὸ δεῖ τὰς ἐνεργείας ποιὰς ἀποδιδόναι· κατὰ γὰρ τὰς τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις. Οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ, μᾶλλον δὲ τὸ πᾶν.

**Α1.** Για καθεμιά από τις παρακάτω περιόδους λόγου να γράψετε «**Σωστό**», αν είναι σωστή ή «**Λάθος**», αν είναι λανθασμένη, με βάση το αρχαίο κείμενο (**μονάδες 5**) και να τεκμηριώσετε κάθε απάντησή σας γράφοντας τις λέξεις/φράσεις που την επιβεβαιώνουν (**μονάδες 5**):

1. Οι νομοθέτες με τις αυστηρές ποινές καθιστούν τους πολίτες ενάρετους.
2. Το πολίτευμα αξιολογείται ως αγαθό από την επιτυχία του εθισμού των πολιτών.
3. Η πράξη αποτελεί το αίτιο γέννησης των αρετών και η απραξία το αίτιο απώλειάς της.
4. Στις επιθυμίες άλλοι γίνονται πράοι και άλλοι οργίλοι.
5. Ο εθισμός από μικρή ηλικία είναι το παν για τον άνθρωπο.

**Μονάδες 10**

ΣΠΟΥΔΗ

**Β1.** Πώς η αναφορά στο έργο των νομοθετών αποτελεί απόδειξη για τον επίκτητο χαρακτήρα των ηθικών αρετών;

**Μονάδες 10**

**Β2. ΠΑΡΑΛΛΗΛΟ ΚΕΙΜΕΝΟ**

Μάρκος Αυρήλιος, Τα εις εαυτόν, Θ, κγ΄ και Ι, 5

*Όπως εσύ ο ίδιος είσαι συμπλήρωμα κοινωνικού συστήματος, έτσι και κάθε πράξη σου συμπλήρωμα να είναι της κοινωνικής ζωής. Αν λοιπόν μια σου πράξη δε συντελεί είτε από μακριά είτε από κοντά σε κοινωφελή σκοπό, αυτή η πράξη κομματιάζει τη συνολική ζωή, εμποδίζει την ενότητά της και είναι στασιαστική, όπως μέσα σε μια κοινότητα, όταν ένας αποχωρίζει τον εαυτό του και τα δικά του από την κοινή συμφωνία.*

*Και επειδή έχω κάποια συγγένεια με τα ομοιογενή μου μέρη, δε θα κάνω τίποτα επιζήμιο στην κοινωνία. Θα συλλογίζομαι μάλιστα τους ομοιογενείς μου και θα κατευθύνω κάθε προσπάθειά μου στο κοινό συμφέρον και θα την απομακρύνω από το εναντίον. Αν αυτά κατορθωθούν, δε μπορεί να μην είναι η ζωή μου ευτυχισμένη, όπως μπορώ να φαντασθώ ευτυχισμένη και τη ζωή ενός πολίτη που όλο πράξεις ωφέλιμες για τους συμπολίτες του εκτελεί και μένει ικανοποιημένος μ' εκείνο που του δίνει η πολιτεία.*

***Αφού μελετήσετε το παραπάνω απόσπασμα, να συνδέσετε την κοσμοθεωρία του Μάρκου Αυρηλίου με την κοινωνική διάσταση της ηθικής αρετής του Αριστοτέλη, όπως προκύπτει από το κείμενο αναφοράς.***

**Μονάδες 10**

**Β3.** Να αντιστοιχίσετε καθεμία από τις φράσεις της στήλης Α του παρακάτω πίνακα με μία φράση από τη στήλη Β που συμπληρώνει το νόημά της:

| **Α** | **Β** |
|---|---|
| 1. Όταν ο Αριστοτέλης ήρθε στη Αθήνα για να σπουδάσει, | α.η Ακαδημία είχε αρχίσει να παρακμάζει |
| | β.ο Πλάτων είχε αναθέσει τη διεύθυνση της Ακαδημίας στον Ηρακλείδη |
| | γ.η Ακαδημία αποτελούσε σημείο συνάντησης σημαντικών λογίων της εποχής |
| 2. Η φιλοσοφική σχολή Περίπατος ιδρύθηκε από τον | α. Αριστοτέλη |
| | β. Εύδοξο |
| | γ. Θεόφραστο |

ΣΠΟΥΔΗ

| | |
|---|---|
| 3. Ο Αριστοτέλης έφυγε για δεύτερη φορά από την Αθήνα, | α.επειδή αισθάνθηκε πως βρισκόταν σε κίνδυνο μετά τον θάνατο του Αλέξανδρου |
| | β.για να επιστρέψει στα Στάγειρα |
| | γ.για να αναλάβει την αγωγή του Αλέξανδρου στη Μακεδονία |
| 4. Κατά τον Αριστοτέλη από τα μέρη της ψυχής το *επιθυμητικόν* σχετίζεται με | α.τις αρετές που περιγράφουν τον χαρακτήρα του ανθρώπου |
| | β.τη διατροφή |
| | γ.τη φρόνηση |
| 5.Σύμφωνα με τον Αριστοτέλη *η ευδαιμονία* είναι | α. ενέργεια |
| | β. κατάσταση |
| | |

**Μονάδες 10**

**Β4.** Να βρείτε στο αρχαίο διδαγμένο κείμενο που σας δίνεται μια **ετυμολογικά συγγενή λέξη** για καθεμία από τις παρακάτω λέξεις της Νέας Ελληνικής: **αφθαρσία, ουσία, θαρραλέος, παράδοση, οισοφάγος.**

**Μονάδες 10**

**Γ.ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ**

**ΠΛΑΤΩΝΟΣ,ΦΑΙΔΩΝ 58.b -58.e,** Oxford Classical Texts,Burnet John, 1900

Στο παρακάτω απόσπασμα ο Φαίδων αναφέρεται στην περίοδο που ο Σωκράτης παρέμεινε στη φυλακή προτού θανατωθεί.

Φαίδων: Τοῦτ᾽ ἔστι τὸ πλοῖον, ὥς φασιν Ἀθηναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς «δὶς ἑπτὰ» ἐκείνους ᾤχετο ἄγων καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλλωνι ηὔξαντο ὡς λέγεται τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ᾽ ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν καὶ δημοσίᾳ μηδένα ἀποκτεινύναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκηται τὸ πλοῖον καὶ πάλιν δεῦρο· τοῦτο δ᾽ ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς. ἀρχὴ δ᾽ ἐστὶ τῆς θεωρίας ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου· τοῦτο δ᾽ ἔτυχεν, ὥσπερ λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. διὰ ταῦτα καὶ πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου.

ΣΠΟΥΔΗ

Ἐχεκράτης: Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαίδων; τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα, καὶ τίνες οἱ παραγενόμενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ᾽ **ἔρημος** ἐτελεύτα φίλων;

Φαίδων: Οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες, καὶ πολλοί γε.

Ἐχεκράτης: Ταῦτα δὴ **πάντα** προθυμήθητι ὡς σαφέστατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχολία τυγχάνει **οὖσα**.

Φαίδων: Ἀλλὰ σχολάζω γε καὶ πειράσομαι ὑμῖν διηγήσασθαι· καὶ γὰρ τὸ μεμνῆσθαι **Σωκράτους** καὶ αὐτὸν λέγοντα καὶ ἄλλου ἀκούοντα ἔμοιγε ἀεὶ πάντων ἥδιστον.

Ἐχεκράτης: Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκουσομένους γε τοιούτους ἑτέρους ἔχεις· ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκριβέστατα διεξελθεῖν πάντα.

Φαίδων: Καὶ μὴν ἔγωγε θαυμάσια ἔπαθον παραγενόμενος. οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει· εὐδαίμων γάρ **μοι** ἀνὴρ ἐφαίνετο, ὦ Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων, ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα, ὥστε μοι ἐκεῖνον παρίστασθαι μηδ᾽ εἰς Ἅιδου ἰόντα ἄνευ θείας μοίρας ἰέναι, ἀλλὰ καὶ ἐκεῖσε ἀφικόμενον εὖ πράξειν.

**ἀπολαβόντες**:που εμπόδισαν,**μοι παρίστασθαι**: να μου δίνει την εντύπωση.

**Γ1.**Να μεταφράσετε το παρακάτω χωρίο:«**Τοῦτ᾽ ἔστι τὸ πλοῖον, … ἀπολαβόντες αὐτούς.**».

**Μονάδες 20**

**Γ2.**Σύμφωνα με την τελευταία παράγραφο του κειμένου γιατί ο Φαίδων υποστηρίζει ότι δεν αισθάνθηκε οίκτο και λύπη για τον Σωκράτη που επρόκειτο να πεθάνει;

**Μονάδες 10**

**Γ3.α.«ἀρχὴ δ᾽ ἐστὶ τῆς θεωρίας ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου·»**:Να μεταφέρετε όλα τα πτωτικά μέρη στη δοτική πτώση του ίδιου αριθμού (μονάδες 6)

**β**.Να γράψετε τους παρακάτω ζητούμενους τύπους(μονάδες 4):

**ἀπολαβόντες**:το β΄ενικό πρόσωπο της προστακτικής του ίδιου χρόνου στην ίδια φωνή

**ἐτελεύτα**:το ίδιο πρόσωπο στην υποτακτική του ενεστώτα στην ίδια φωνή

**ἀπαγγεῖλαι**:το β΄πληθυντικό πρόσωπο της οριστικής του μέλλοντα στην ίδια φωνή

**ἀκούοντα**:τον ίδιο τύπο στον μέλλοντα στην ίδια φωνή.

**Μονάδες 10**

**Γ4.α.«ἔρημος, πάντα,οὖσα, Σωκράτους, μοι** (το α΄ του κειμένου)»**:**Να αναγνωρίσετε συντακτικά τους παραπάνω όρους του κειμένου (μονάδες 5).

**β.«Ταῦτα δὴ πάντα προθυμήθητι ὡς σαφέστατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχολία τυγχάνει οὖσα.»**:Να εντοπίσετε την υπόθεση και την απόδοση του υποθετικού λόγου και να αναγνωρίσετε το είδος του (μονάδες 2).

**γ.«τί ἦν τὰ λεχθέντα;»**:Να αναλύσετε τη μετοχή του αποσπάσματος στην αντίστοιχη δευτερεύουσα πρόταση (μονάδες 3).

**Μονάδες 10**

ΣΠΟΥΔΗ